# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ
# ΘΕΟΦΑΝΟΥΣ ΤΗΣ ΣΙΓΡΙΑΝΗΣ

Οὗ ἡ Μνήμη τῇ ιβ′ Μαρτίου.

Συμπληρωθεῖσα κατὰ τὰ ἐλλείποντα
ὑπὸ τοῦ ταπεινοῦ Ἐπισκόπου Κυρίλλου, τοὐπίκλην Κογεράκη,
Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ῥόδου.

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α′. Πανεύφημοι Μάρτυρες.

Θεόφρον Θεόφανες Χριστοῦ, τοῦ Θεοῦ δεξάμενος, ἐν τῇ ψυχῇ σου τὸν ἔρωτα, πᾶσαν ἐμίσησας, κοσμικὴν ἀξίαν, καὶ ἐν γῇ ὡς Ἄγγελος, ἀγῶσιν ἐγκρατείας ἐβίωσας· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Θεόφρον Θεόφανες Χριστοῦ, τοῦ Θεοῦ ἐπ᾽ ὤμων σου , Σταυρὸν τὸν θεῖον ἐβάστασας, καὶ ἀνελήλυθας, εἰς τῆς βασιλείας, οὐρανῶν τὴν εὔκλειαν, στεφάνοις ἀφθαρσίας κοσμούμενος· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Θεόφρον Θεόφανες Χριστοῦ, τοῦ Θεοῦ τοῖς ῥήμασιν, ἀκολουθήσας ὡς πάνσοφος, ὁσίως ἔζησας, καὶ εἰκονομάχων, τῇ ὁμολογίᾳ σου, τὸ φρύαγμα καθεῖλες τὸ ἄθεον· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Θεόφρον Θεόφανες Χριστοῦ, τοῦ Θεοῦ τὸ θέλημα, ἀσκητικῶς ἐπετέλεσας, καὶ ἐξεδήμησας, πρὸς αὐτὸν ἐν δόξῃ, τῆς ὁμολογίας σου, τῇ αἴγλῃ ἐξαστράπτων ὡς ἥλιος· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος β′.

Α᾽σκητικῶς ἀγωνισάμενος, καὶ Παρακλήτου τὸ φῶς, ἐν τῇ ψυχῇ σου εἰσδεξάμενος, ὡς φωστὴρ οὐρανόφωτος, τῇ Ἐκκλησίᾳ Χριστοῦ ἐξανέτειλας, καὶ πάντας ἐφώτισας, ταῖς αὐγαῖς τῶν χαρισμάτων σου. Διὸ σήμερον οἱ πιστοί, τὴν μνήμην σου ἐπιτελοῦντες, εὐσεβῶς ἐκβοῶμέν σοι·

Θεόφανες Πατὴρ ἡμῶν Ὅσιε, τὸν φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν αἴτει, εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Βίον ἀσκητικόν, ἐν κόσμῳ ἐκτελέσας, Θεόφανες παμμάκαρ, ζωῆς τῆς ἀθανάτου, τὴν εὔκλειαν ἐτρύγησας.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Πόθον τῆς γαμετῆς , προφρόνως ἀποῤῥίψας , δι᾽ ἄκρας ἐγκρατείας , Ἀγγέλοις ἡμιλλήθης, ἐπὶ τῆς γῆς Θεόφανες.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Θλίψεις καὶ διωγμούς, ὑπὲρ τῆς τῶν Εἰκόνων, τιμῆς καθυπομείνας, Ὀρθοδοξίας ὤφθης, ὑπέρμαχος Θεόφανες.

Δόξα. Ἦχος πλ. β΄.

Ο῞σιε Πάτερ Θεόφανες, τὰς ἐν κόσμῳ ἀξίας ἀπαρνησάμενος, καὶ ἀγγελικὴν διαγωγὴν ἐπιδειξάμενος, μετ᾽ Ἀγγέλων ἐκτήσω τὸ πολίτευμα· διὸ πρέσβευε ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ὁσίου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.

Τὴν παναγίαν σου μνήμην, Πάτερ Θεόφανες, φαιδρῶς ἐπιτελοῦντες, τῇ παρούσῃ ἡμέρᾳ, Χριστὸν δοξολογοῦμεν οἱ εὐσεβεῖς, τὸν λαμπρῶς σε δοξάσαντα, ὡς εὐσεβείας γενναῖον προασπιστήν, καὶ Ὁσίων ἐγκαλλώπισμα.

Ἀ᾿παρνησάμενος κόσμον, Πάτερ Θεόφανες, καὶ τὰ ἐν κόσμῳ πάντα, τοῦ Χριστοῦ τῇ ἀγάπῃ, Ἀγγέλων ἐμιμήσω τὴν βιοτήν, ἐπὶ γῆς τῇ ἀσκήσει σου· διὸ αὐτοῖς συγχορεύων ἐν οὐρανοῖς, τῶν τιμώντων σε μνημόνευε.

Ἀ᾿ποταξάμενος πᾶσι, βίου τοῖς πράγμασι, καὶ τὸν Σταυρὸν ἐπ᾿ ὤμων , τοῦ Κυρίου βαστάσας, ἀνῆλθες Παραδείσου εἰς πλατυσμόν, θεομάκαρ Θεόφανες, ἔνθα χαρᾶς τῶν Δικαίων κατατρυφῶν, τῶν ὑμνούντων σε προστάτευε.

Ἕτερα. Ἦχος πλ. δ′. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεόφρον Θεόφανες, θεοφανείας Χριστοῦ, κεκλημένος ἐπώνυμος, ζωηφόροις ἴχνεσι, τοῖς αὐτοῦ ἠκολούθησας, καὶ τὰ τερπνὰ τοῦ βίου κατέλιπες, ἐνατενίζων τῷ ποθουμένῳ σοι, κάλλει πανάριστε, καὶ ταῖς θείαις νεύσεσι ταῖς πρὸς αὐτόν, ἄριστα θεούμενος, καὶ τελεώτατα.

Πάτερ θεόφρον Θεόφανες, ὑπερορίας πικράς, ἀσθενῶς διακείμενος, καρτερῶς ὑπήνεγκας, ἀφειδήσας τοῦ σώματος, ὑπὲρ σεπτῶν εἰκόνων πανεύφημε, θυμῷ λεόντων ἐξοριζόμενος, ὧν κατορχούμενος, τὰς βουλὰς ἐμώρανας, καὶ λογισμούς, ὄντας ματαιόφρονας, καὶ νοῦν ἀλάστορα.

Ὄντως ἀμοιβὰς τῶν πόνων σου, τῶν ἀγαθῶν ὁ δοτήρ, δαψιλῶς σοι δεδώρηται, ἀπελαύνειν δαίμονας, θεραπεύειν νοσήματα, παρεσχηκὼς Τρισμάκαρ τὴν δύναμιν, καὶ ἀξιώσας σε τῆς ἀφράστου χαρᾶς, ἔνθα χορεύουσι, τῶν Ἀγγέλων τάγματα, διὰ παντός, πρόσωπον θεώμενον, τοῦ Παντοκράτορος.

Δόξα. Ἦχος πλ. β′.

Ὅσιε Πάτερ, εἰς ἀσκητικὴν ἀναβὰς τελειότητα, τῆς ἐνεργείας ἐπλήσθης τοῦ Πνεύματος, καὶ ἀντετάξω εἰκονομάχων τῇ βουλῇ, ὁμολογήσας ὀρθοδόξως τὴν εὐσέβειαν· τῶν Ἀποστόλων γὰρ ἴχνεσιν ἑπόμενος, καὶ τῶν Πατέρων διδασκαλίαις πειθόμενος, ἐναντίον βασιλέων καὶ τυράννων, τοῦ Χριστοῦ τὴν Εἰκόνα, σχετικῶς προσκυνεῖσθαι ἐκήρυξας. Ὅθεν βασάνους καὶ διωγμούς, ἐν καρτερίᾳ καθυπομείνας, πρὸς Θεὸν μετετέθης,

ἡγιασμένε Θεόφανες. Αὐτῷ οὖν πρέσβευε ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ′, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε′, 15-6,3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις

ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ΄, 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικίᾳ γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακίᾳ ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Δεῦτε σήμερον πιστοί, τῷ Θεῷ αἶνον ᾄσωμεν, ἐπὶ τῇ μνήμῃ τοῦ Ὁσίου, Θεοφάνους τοῦ μάκαρος· οὗτος γὰρ τὴν χάριν τοῦ Πνεύματος , δι᾽ ἀσκητικῆς πολιτείας εἰσδεξάμενος, τὰ πάτρια δόγματα τῇ ὁμολογίᾳ ἐπεκράτυνε, βασιλέα παρανομοῦντα κατεβρόντησε, τῆς αἱρέσεως τὴν ὀφρὺν ἐταπείνωσε, καὶ Ὀρθοδοξίᾳ τὴν Ἐκκλησίαν ἐστήριξε· διὸ καὶ πρὸς αὐτόν, συμφώνως πάντες εἴπωμεν· Ὅσιε Πάτερ, πρέσβευε παῤῥησίᾳ τῷ Κυρίῳ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Ο῞σιε Πάτερ, πανεύφημε Θεόφανες, ταῖς ἀρεταῖς τῆς ἀσκήσεως, ὁμολογίας τοὺς ἄθλους συνάψας, καὶ Μάρτυς ἐγνωρίσθης, ἐν Ὁσίοις ἄνευ αἵματος· Λέοντος γὰρ τοῦ δυσσεβοῦς βασιλέως, τῷ δόγματι ἀντιταξάμενος, ἐν χρόνοις πολλοῖς διετέλεσας, ταῖς πικραῖς ἐξορίαις συνεχόμενος, καὶ ταῖς ἀφύκτοις φρουραῖς δοκιμαζόμενος. Ὅθεν τὸν

στέφανον τῆς ζωῆς, οὐρανόθεν διπλοῦν κομισάμενος, τῷ ἀθανάτῳ παρέστης Βασιλεῖ, ᾧ πρέσβευε ἐκτενῶς, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Ὅσιε Πάτερ Θεόφανες, ὡς ἁλουργίδα μυστικήν, ἀσκητικῶς τὴν ἀρετὴν ἐνδυσάμενος, καὶ τὸν ζῆλον Ἠλιού, τῇ τοῦ Σωτῆρος πεποιθήσει κτησάμενος, τὴν Ὀρθόδοξον πίστιν ἐκήρυξας, βασιλέα παρανομοῦντα ἐστηλίτευσας, καὶ νύκτα αἱρέσεως, διδαχαῖς σου ἀπήλασας. Ὅθεν καλῶς τὸν δρόμον ἐκτελέσας, παρὰ Θεοῦ ἐκομίσω, δικαιοσύνης τὸν στέφανον· διὸ πρέσβευε αὐτῷ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. β΄.

Ὅσιε Πάτερ, ἀσκητικῶς τὸ κατ᾽ εἰκόνα , διατηρήσας ἀκέραιον, εἰς τὸ καθ᾽ ὁμοίωσιν ταῖς ἀρεταῖς ἀνελήλυθας· δαυϊτικῶς ἐναντίον βασιλέων, λαλῶν οὐ κατησχύνθης, καὶ Ὀρθοδοξίας τοῖς δόγμασι, νικητὴς ἀνεδείχθης τῆς αἱρέσεως· κατὰ παθῶν καὶ τυράννων βασιλεύσας, γνήσιος δοῦλος ἐγένου τοῦ Χριστοῦ, τοῦ πρὸς βασιλείαν οὐρανῶν, ὡς ἄξιον σε μεταστήσαντος. Παῤῥησίαν οὖν ἔχων πρὸς αὐτόν, τὴν εἰρήνην αἴτει ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ὁσίου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια.
Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς Ὁσίων ὁμότροπον , καὶ Μαρτύρων ὁμόζηλον , οἱ πιστοὶ Θεόφανες εὐφημοῦμέν σε· τὸ κατ᾽ εἰκόνα γὰρ Ὅσιε , τηρήσας ἀλώβητον, ἀγωγαῖς ἀσκητικαῖς, τοῦ Κυρίου ἐν σώματι, ἀνεκήρυξας, τὴν Εἰκόνα τιμᾶσθαι ὀρθοδόξως, ὡς ἑπόμενος Πατέρων, τῆς Ἐκκλησίας τοῖς δόγμασι.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ἀγαπήσας τὸν Κύριον, ἐκ νεότητος Ὅσιε, κοσμικὴν κατέλιπες ματαιότητα, καὶ τὸν Σταυρὸν ἐπωμάδιον, λαβὼν ἠκολούθησας , προθυμότατα αὐτόν, καὶ Ἁγίων κατέλαβες, τὰ σκηνώματα, ὑπὲρ πάντων πρεσβεύων παῤῥησίᾳ , τῶν τελούντων σου τὴν μνήμην , μετ᾽ ἐγκωμίων Θεόφανες.

www.tezaurliturgic.ro

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Διαθλήσας τὸ πρότερον , δἰ ὁσίας ἀσκήσεως , ἀρετῆς Θεόφανες τὸ ἀγώνισμα, ὑπὲρ τῆς θείας ἐσύστερον, Εἰκόνος ἠγώνισαι, τοῦ Δεσπότου σου Χριστοῦ· ὡς δὲ Μάρτυς διέπρεψας, δίχα αἵματος, ἐν τοῖς ἄθλοις τῆς σῆς ὁμολογίας, καὶ καθεῖλες ἀσεβείας, εἰκονομάχων τὴν ἔπαρσιν.

Δόξα. Ἦχος πλ. δ'.

Δεῦτε πάντες οἱ πιστοί, τὸν ὁμολογητὴν τῆς εὐσεβείας, Θεοφάνην τὸν Ὅσιον, ἀξιοχρέως ἐπαινέσωμεν· οὗτος γὰρ ἐν ἐξορίαις ἀθλῶν, ἐν φυλακαῖς καρτερῶν, καὶ ἐν βασάνοις εὐδοκῶν, τῶν ἀθετούντων προσκυνεῖν, Χριστοῦ τοῦ Θεοῦ, τὴν κατὰ σάρκα μόρφωσιν, τὴν κακοδοξίαν ἐπάτησε, καὶ Ὀρθοδοξίᾳ, τὴν Ἐκκλησίαν ἐστερέωσεν. Διὸ καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν· Πάτερ μακάριε, ἐν τῇ πέτρᾳ τῆς πίστεως, συντήρει ἀκλονήτους, τοὺς τιμῶντας τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος πλ. δ'. Ταῖς τῶν δακρύων σου.

Θεοφανείας τοῦ Χριστοῦ, κεκλημένος ἐπώνυμος ἀληθέστατος, ἐπηκολούθησας αὐτῷ, ἀσκητικῶν ἀγώνων τοῖς κατορθώμασι, καὶ ὤφθης μοναστῶν, καθηγητὴς θεόφρον Θεόφανες, καὶ τῆς Ὀρθοδοξίας ὑπέρμαχος· πρέσβευε ἀεὶ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.
Ἦχος α'. Τὸν τάφον σου.

Χριστὸν ἀπὸ παιδός, θεοφρόνως ποθήσας, ἐδείχθης ἐκλογῆς, καθαρώτατον σκεῦος, τοῦ βίου σου Θεόφανες, τοῖς φαιδροῖς κατορθώμασι, καὶ ἐκόσμησας, τὴν τῶν πιστῶν Ἐκκλησία, ἥτις σήμερον, εὐφραινομένη γεραίρει, τὴν πάντιμον μνήμην σου.

Δόξα. Ὅμοιον.

Τὴν σάρκωσιν Χριστοῦ, προσκυνεῖσθαι ἐν τύποις, κηρύξας εὐσεβῶς, τὸ λεόντειον θράσος, ὡς βλάσφημον ἐπάτησας, καὶ εἰς χοῦν ἐταπείνωσας· ὡς δὲ ἄξιος, Ὀρθοδοξίας στεφάνῳ, ἐστεφάνωσαι, καὶ οὐρανῶν ἐκληρώσω, τὴν δόξαν Θεόφανες.

Καὶ νῦν. Θεοτοκίον.

Παρθένε ἀγαθή, τοῖς ἱκέταις σου ἴθι, βοήθεια στεῤῥά, προστασία καὶ σκέπη, ὡς εὔσπλαγχνος ὑπάρχουσα, συμπαθὴς καὶ φιλάνθρωπος· σοὶ γὰρ Δέσποινα, ἐν ταῖς τοῦ βίου ἀνάγκαις, καταφεύγομεν, καὶ ὡς Θεοῦ σε Μητέρα, ἀεὶ μακαρίζομεν.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ′. Θείας πίστεως.

Θείῳ ἔρωτι, ἐπτερωμένος, κόσμου ἔλιπες, τὴν εὐδοξίαν, παναοίδιμε Πάτερ Θεόφανες, καὶ ἀρεταῖς θεοφόρος γενόμενος, ὁμολογίαις τοῖς ἄθλοις διέπρεψας. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ δωρήσασθαι, πταισμάτων ἱλασμὸν τοῖς εὐφημοῦσί σε.

Δόξα. Ὁ αὐτός. Θείας πίστεως.

Ἔργοις ἔλαμψας, τῆς ἐγκρατείας, σκότος ἔλυσας, τῆς ἀσεβείας, παμμακάριστε Πάτερ Θεόφανες· ἀσκητικῶς γὰρ τὴν χάριν δεξάμενος, εἰκονομάχων τὴν πλάνην διήλεγξας. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ πανεύφημε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ οὖν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ′. Ταχὺ προκατάλαβε.

Χριστῷ ἠκολούθησας, ἀνενδοιάστῳ ψυχῇ, καὶ βίον ἰσάγγελον, ἐπολιτεύσω ἐν γῇ, Θεόφανες Ὅσιε· ἔλαμψας τῇ ἀσκήσει, ὡς φωστὴρ φαεσφόρος· ἔλυσας ἀσεβείας, τὸ ψυχόλεθρον σκότος· διό σε εὐφημοῦμεν πιστῶς, τελοῦντες τὴν μνήμην σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τῶν χρόνων ἐπέκεινα, καὶ πρὸ αἰώνων Θεόν, ἐν χρόνῳ ἐκύησας, ὑπερφυῶς ἐν σαρκί, Θεάνθρωπον Ἄχραντε· ὅθεν σε Θεοτόκον, ἀληθῶς καὶ κυρίως, πάντες ὁμολογοῦντες, ἐκτενῶς σοι βοῶμεν· Τῆς δόξης τῆς αἰωνίου, πάντας ἀξίωσον.

Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α′ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ′ ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ζήτει τῇ ε′ Δεκεμβρίου.

Ὁ Ν′. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β′.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅσιε Πάτερ, ἀοίδιμε Θεόφανες, ἀρετῶν ἀσκητικῶν, καὶ ὀρθοδόξων δογμάτων, ἀναδειχθεὶς διδάσκαλος, ἐν οὐρανοῖς ἀθάνατον ἐκτήσω, τὴν εὔκλειαν τῶν κατορθωμάτων σου, Θεῷ τῷ ἐν Τριάδι παριστάμενος, καὶ πρεσβεύων ἐκτενῶς, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· οἱ Κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ′, καὶ τοῦ Ὁσίου εἰς στ′. Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχὶς ἄνευ τῶν Θεοτοκίων· «Θεοφάνης μέλπει σε τὸν Θεοφάνην». Ποίημα Θεοφάνους

Ὠιδὴ α′. Ἦχος δ′. Θαλάσσης τὸ ἐρυθραῖον.

Θεοῦ, τοῦ σαρκὶ φανέντος ἴχνεσιν, ἐπηκολούθησας, τῇ εὐσεβείᾳ Πάτερ πυρωθείς, ὡς ἐντεῦθεν τὴν κλῆσιν πλουτεῖν, τὴν ἀληθῶς φερώνυμον, ὡς τῇ προνοίᾳ προτετύπωτο.

Ἐθέλχθης, ποθεινοτάτῳ ἔρωτι, τῷ τοῦ Δεσπότου σου, καταφρονήσας πόθου κοσμικοῦ, συγκραθεὶς δὲ τῇ θείᾳ στοργῇ, βιωτικὴν τερπνότητα, οὐδὲν ἡγήσω Παμμακάριστε.

Ὁρμήσας, θηριωδῶς ἐδίωξε, Λέων ὁ τύραννος, τοὺς ἐκλεκτούς, μὴ φέρων καθορᾶν, σεβομένους εἰκόνα Χριστοῦ, μεθ' ὧν καὶ σὲ Θεόφανες, ὑπερορίᾳ κατεδίκασεν.

Θεοτοκίον.

Ἀσπόρως, τὸ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ὠιδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Φωτὸς τοῦ θείου, πεπλησμένος ὡράθης Θεόφανες, δι' ἀγάπης συγκραθείς, τῷ ποθουμένῳ μακάριε, διό σου τὴν ἔνδοξον μνήμην γεραίρομεν.

Ἀπαγορεύσας, τὰ δυσσεβῆ τοῦ Λέοντος δόγματα, τοὺς θεσμοὺς πανευσεβῶς τῆς Ἐκκλησίας ἐκράτυνας· διὸ σε τοῖς θαύμασι, Χριστὸς ἐδόξασε.

Νενευρωμένη, δι' ἐλπίδος καὶ πίστεως Ὅσιε, σοῦ σαρκὸς τὸ ἀσθενές, ψυχὴ στερρότητι ῥώννυσι, Θεῷ οἰκειώσασα, σῶμα ὁμόβουλον.

Θεοτοκίον.

Ἀπειρογάμως, ἡ Θεὸν σαρκωθέντα κυήσασα, τῶν παθῶν ταῖς προσβολαῖς, κλονούμενόν με στερέωσον· οὐ γὰρ ἔχω Ἄχραντε, πλήν σου βοήθειαν.

Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Ζῆλον ἔνθεον προσκεκτημένος, δόγμα ἄθεον ἀπεβδελύξω, καὶ κινδύνοις πολυτρόποις ὡμίλησας, ὑπερορίαις ἀδίκως στελλόμενος, καὶ εὐσεβῶς παμμάκαρ τελειούμενος, Πάτερ Θεόφανες, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θείας φύσεως οὐκ ἐχωρίσθη, σάρξ γενόμενος ἐν τῇ γαστρί σου, ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Μητέρα Παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας Πανάμωμε, μόνος Κύριος· Αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠιδὴ δʹ. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἡ΄ οὐράνιος ἡτοίμασται βασιλεία, ὡς, Ἀθλητῆ σοι ἔνδοξε· τῆς γὰρ ἐπιγείου, χαίρων μετετέθης σκηνῆς, βοῶν τῷ Δεσπότῃ σου· Δόξα τῇ δυνάμει σου Κύριε.

Στεφανηφόρος Θεόφανες ἀνεδείχθης· τὸ γὰρ σεπτὸν εἰκόνισμα, Χριστοῦ θεοφόρε, μάκαρ οὐκ ἠρνήσω τιμᾶν· διὸ καὶ ἀνέκραζες· Δόξα τῇ δυνάμει σου Κύριε.

Μεθιστάμενος προστάγματι τοῦ τυράννου, τοῦ δυσσεβοῦς ὁ Ὅσιος, σαρκὸς ἀσθενείας, ὅλως οὐκ ἐφρόντισε, κραυγάζων τῷ Κτίσαντι· Δόξα τῇ δυνάμει σου Κύριε.

Ἐμεγαλύνθης τοῖς θαύμασι Θεοφόρε· ὁ γὰρ Χριστὸς ἠμείψατο σὲ τῆς καρτερίας· ὅθεν καὶ ἰάματα πηγάζεις τοῖς χρῄζουσιν, ὥσπερ ἐκ πηγῆς ἱερώτατε.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ Χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠιδὴ εʹ. Σὺ Κύριέ μου φῶς.

Λόγῳ πανευσεβεῖ, ὀρθοδόξως ἐκήρυξεν, ὁ Ὅσιος Θεοφάνης, τὸ τῆς πίστεως δόγμα, τῷ Πνεύματι λαμπόμενος.

Πλοῦτον παντοδαπῆ, θεοφρόνως διένειμας, προστάγματι τοῦ Δεσπότου, τοῖς πενίᾳ συζῶσιν, ἑπόμενος Πανεύφημε.

Ἔχων σου τὴν ψυχήν, κατ' εἰκόνα τοῦ Κτίσαντος, τὴν ἄχραντον τοῦ Δεσπότου, προσεκύνεις Εἰκόνα, τῷ πόθῳ ἀσπαζόμενος.

Θεοτοκίον.

Σὲ ὅπλον ἀρραγές, κατ' ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

www.tezaurliturgic.ro

Ὠιδὴ στ′. Θύσω σοι μετὰ φωνῆς.

Ἴθυνον, πρὸ ἀρετὴν τὸν βίον μου Ὅσιε, τὴν τῆς ἀσκήσεως τρίβον, ταῖς εὐχαῖς σου Πάτερ ἐξομαλίζων, ἣν συντόνως, εὐθυπορεῖν με μάκαρ ἀξίωσον.

Σωφρόνως, σοῦ τὴν ζωὴν διήνυσας Ὅσιε, μετὰ φρονήσεως ἔσχες· σὺν ἀνδρείᾳ γὰρ τὴν δικαιοσύνην, καὶ τῷ κύκλῳ, τῶν ἀρετῶν ἐφάνης κοσμούμενος.

Εὐκλείας μαρτυρικῆς ἐπέβης Θεόφανες, τῆς Θεομήτορος Κόρης, καὶ Μαρτύρων Πάτερ τοὺς χαρακτῆρας, ὡς τιμήσας, καὶ τοῖς διώκταις ἀντιταξάμενος.

Θεοτοκίον.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον! ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Κοντάκιον. Ἦχος β′. Τὰ ἄνω ζητῶν.

Ε᾿ξ ὕψους λαβών, τὴν θείαν ἀποκάλυψιν, ἐξῆλθες σπουδῇ, ἐκ μέσου τῶν θορύβων, καὶ μονάσας Ὅσιε, ἐνεργείας θαυμάτων εἴληφας, καὶ προφητείας χαρίσματα, συμβίου καὶ πλούτου στερούμενος.

Ὁ Οἶκος.

Ε᾿πὶ τῆς γῆς μηδὲν προτιμήσας, ἠκολούθησας χαίρων τῷ καλοῦντί σε Χριστῷ, καὶ τὸν ζυγὸν αὐτοῦ ἔλαβες ἐπὶ τῶν ὤμων τῶν σῶν προθύμως, καὶ ἀνάπαυσιν εὗρες τῇ ψυχῇ σου, ἣν περ κἀμοὶ τῷ πτωχῷ καὶ ῥαθύμῳ κατάπεμψον τῷ λέγοντι, καὶ μηδόλως ἐκτελοῦντι, ἀλλ' ἔτι σχολάζοντι, ἐν τοῖς τοῦ βίου πράγμασι, καὶ θαυμάζοντι, πῶς πάντα ἔφυγες, συμβίου καὶ πλούτου στερούμενος.

Μηνολόγιον.

Τῇ ΙΒ′ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοφάνους τῆς Σιγριανῆς, τοῦ ἐν τῷ Μεγάλῳ Ἀγρῷ κειμένου.

Στίχοι.
Θεόφανες φάνηθι πιστοῖς προστάτης,
Τιμῶσι πιστῶς σὸν μετ᾽ εἰρήνης τέλος.

Δωδεκάτῃ φθινύθοντος ἀπῆρε βίου Θεοφάνης.

Συναξάριον.

Οὗτος πατρὸς μὲν ἔφυ

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γρηγορίου Πάπα Ῥώμης τοῦ Διαλόγου.

Στίχοι.
Ὁ Γρηγόριος ἐκ μέσου μὲν τοῦ βίου,
Ἐν τῷ μέσῳ δὲ τοῦ χοροῦ τῶν Ἀγγέλων.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Δίκαιος Φινεὲς ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.
Ἔστη Φινεές, ἀλλὰ τοῦ Θεοῦ πέλας,
Ἡμῖν ἱλασμῷ ψυχικὴν θραῦσιν λύων.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος καὶ θεοφόρος Πατὴρ ἡμῶν Συμεών, ὁ Νέος Θεολόγος, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.
Πρῴην μὲν εἶχες γλῶτταν ἀντὶ τῆς βίβλου,
Γλώττης δὲ ἀντὶ σὴν ἔχεις ἤδη βίβλον.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠιδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Τὸ κατ' εἰκόνα, σὺ κεκτημένος καὶ ὁμοίωσιν, βίῳ λαμπροτάτῳ, Πάτερ προσειληφώς, δι' ἀμφοτέρων ὑπερέλαμψας· Εὐλογημένος εἶ, ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Ὁμολογίας, σὺ τῷ στεφάνῳ Πάτερ διέπρεψας, ἔργῳ διελέγξας λόγους τῶν δυσσεβῶν, τοὺς πιστοὺς δὲ ἐβεβαίωσας· Εὐλογημένος εἶ, ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Νοῦ στερροτάτῃ, ἐν προθυμίᾳ τὰς τοῦ σώματος, Πάτερ, ἀλγηδόνας ἤνεγκας καρτερῶς, εὐχαρίστως τῷ Δεσπότῃ σου· Εὐλογημένος εἶ, ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Θεοτοκίον.

Τὸ τοῦ ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σύ, ἐν γυναιξὶ πανάμωμε Δέσποινα.
Τὸ τοῦ Ὑψίστου

Ὠιδὴ η΄. Χεῖρας ἐκπετάσας.

Θεώμενος Μάκαρ τὸ στερρόν, τῆς σῆς ἐνστάσεως, Λέων ὁ τύρραννος, ὑπερορίᾳ σε ἔπεμψε, πικροτάτῃ παμπόνηρος, ἐν εὐφροσύνῃ δὲ βοῶν, ταύτην ὑπήνεγκας· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἐπὶ τὸ πρωτότυπον εἰδώς, τὴν τῆς εἰκόνος τιμὴν διαβιβάζεσθαι, ἐπὶ τὸ στάδιον ἔδραμες, Ἀθλητὴς ὡς ἐννομώτατος, καὶ νικητὴς ἀναδειχθείς, στέφανον εἴληφας, ἀναμέλπων· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Οὐράνιον ἀντὶ τῆς ἐν γῇ, σκηνὴν σοι δέδωκεν, ὁ πάντων Κύριος, ἀντὶ στενώσεως· εὗρες γάρ, πλατυσμὸν ἀγαλλιάσεως, ἐν Παραδείσῳ τῆς τρυφῆς, μετὰ Μαρτύρων βοῶν· εὐλογεῖτε, πάντα τὰ
ἔργα Κυρίου τὸν Κύριον.

Φωτὶ ἐλαμπρύνθης νοητῷ, τοῦ θείου Πνεύματος, μάκαρ Θεόφανες· ὅθεν ἰάματα βρύεις νῦν, τοῖς ἐν πίστει σοι προστρέχουσι, καὶ τὴν ἁγίαν σου σορόν, πόθῳ γεραίρουσι, καὶ βοῶσι· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ, σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρί, τοῦ ἀπροσίτου φωτός· ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὠιδὴ θ΄. Λίθος ἀχειρότμητος.

Α῞παντα τὸν βίον σκορπίσας, τοῖς δεομένοις Θεοφόρε, τὴν δικαιοσύνην σου σαφῶς, ἀντικομίζῃ σοι ἀνατέλλουσαν, ἀντὶ φθαρτῶν δρεπόμενος, τὰ δι' αἰῶνος διαμένοντα.

Νόσους θεραπεύεις Παμμάκαρ, τοῦ Παρακλήτου τῇ δυνάμει, δαίμονας σαφῶς ἀπελαύνεις, τῇ ἐνεργείᾳ τούτου πανόλβιε· διὸ πιστοὶ θεώμενοι, σὲ θεοφόρε μακαρίζομεν.

www.tezaurliturgic.ro

Ἡ σὴ φωτοφόρος θεόφρον, τῆς μεταστάσεως ἡμέρα, πάντας προσκαλεῖται τοὺς πιστούς, πρὸς μετουσίαν τοῦ ἁγιάσματος, ἣν περ καὶ νῦν γηθόμενοι, ἐπιτελοῦμεν ἱερώτατε.

Νέμοις τὴν σὴν ἄφθονον χάριν, τῷ τῶν ἐπαίνων σου τοὺς λόγους, πλέξαντι θεόφρον προθύμως, ὁμότροπόν σοι ὥσπερ ὁμώνυμον, τοῦτον δεικνὺς πρεσβείαις σου, ταῖς εὐπροσδέκτοις ἱερώτατε.

Θεοτοκίον.

Δέχου τὰς λιτὰς τοῦ Λαοῦ σου, πρὸς τὸν Υἱόν σου Θεοτόκε, ἱλεωσαμένη εὐμενῶς, ἡμᾶς κινδύνων καὶ περιστάσεων, ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε· σὺ γὰρ προστάτις τῆς ζωῆς ἡμῶν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὴν δύναμιν δεξάμενος, ἀσκητικῶς τῆς χάριτος, εἰκονομάχων καθεῖλες, τὴν ἀθεώτατον πλάνην, καὶ θράσος τὸ λεόντειον, ἐπάτησας τὰ δόγματα, Ὀρθοδοξίας Ὅσιε, Θεόφανες ῥητορεύσας· διό σε πάντες τιμῶμεν.

Ἕτερον. Ὅμοιον.

Ἀ᾿νέφανας Θεόφανες, καὶ Μάρτυς δίχα αἵματος, ὁμολογήσας τιμᾶσθαι, Χριστοῦ τὸ τίμιον εἶδος· διὸ διπλοῦν δεξάμενος, τὸν στέφανον τῆς νίκης σου, ἐν οὐρανοῖς παρίστασαι, Θεοῦ τῷ θρόνῳ πρεσβεύων, ὑπὲρ τῶν σὲ εὐφημούντων.

Θεοτοκίον.

Χαῖρε κατάρας λύτρωσις, καὶ τοῦ Ἀδὰμ ἀνάκλησις· χαῖρε Ἁγνὴ Θεοτόκε, ἐλπὶς καὶ σκέπη τοῦ κόσμου· χαῖρε σεμνὴ Μητρόθεε· χαῖρε τὸ θεῖον ὄχημα· χαῖρε ἡ κλίμαξ καὶ πύλη· χαῖρε ἡ κούφη νεφέλη· χαῖρε τῆς Εὔας ἡ λύσις.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ′. Τί ὑμᾶς καλέσωμεν.

Τί σε ὀνομάσω Θεόφανες; ἐγκρατείας θησαυρόν, καὶ ὑποφήτην θαυμαστόν· εὐσεβείας ποταμόν, καὶ μυστηπόλον ἱερόν· Ἀγγέλων, τῇ ἀσκήσει ὁμοδίαιτον· Μαρτύρων, δίχα αἵματος ὁμότιμον· ὁμολογίας

κειμήλιον, καὶ ἀληθείας ἐκφάντορα· ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν προσείπω Θεόφανες; ἐναρέτου βιοτῆς, κλῆμα περκᾶζον μυστικῶς· δωρεῶν ἀσκητικῶν, ἄστρον ἐκλάμπων νοητῶς· φωστῆρα, Ἐκκλησίας οὐρανόφωτον· προστάτην, Ὀρθοδόξων ἀκαταίσχυντον· τῶν μοναζόντων σοφώτατον, καθηγητὴν καὶ διδάσκαλον· ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν καλέσω Θεόφανες; τῶν παθῶν ἐκμειωτήν, καὶ τῶν ἐχθρῶν ὀλοθρευτήν· τῶν πιστῶν προασπιστήν, καὶ χριστομάχων ἐλεγκτήν· Εἰκόνων, γενναιότατον ὑπέρμαχον, καὶ πλάνης, ἀκατάβλητον πολέμιον· Εὐαγγελίου τῆς χάριτος, πνευματοκίνητον ὄργανον· ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τίς σε οὐκ ὑμνήσει Θεόφανες; ὅτι ἄνωθεν λαβών, τοῦ Παρακλήτου τὴν ἰσχύν, ἀντετάξω εὐθαρσῶς, τῷ χριστομάχῳ βασιλεῖ, καὶ ἄθλοις, τῆς καλῆς ὁμολογίας, Εἰκόνων, τὴν προσκύνησιν ἐτράνωσας· διὸ Χριστός σε ἐδόξασε, θαυματουργὸν ἀναδείξας σε, ᾧ πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. α΄.

Η῾μέραν ἑόρτιον, ἁγιάσματος πλήρη, σήμερον τὴν μνήμην σου, τελοῦμεν Πάτερ Θεόφανες· σὺ γὰρ ἀσκητικῶς ἐλλαμφείς, θεωρίαις ταῖς κρείττοσι, μοναστῶν καθηγητὴς ἐχρημάτισας, καὶ ὁμολογητὴς ἀληθείας ἀναδέδειξαι· διὸ διπλοῦν τὸν στέφανον, θεόθεν τῆς δόξης κομισάμενος, θαυματουργεῖς τοῖς ἐν κόσμῳ, κινδύνων καὶ νόσων ἐξαιρούμενος, τοὺς προστρέχοντας εὐσεβῶς, τῇ δυνάμει τῆς πρεσβείας σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ στ΄ Ὠιδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ ε΄ Δεκεμβρίου, ἐν τῇ μνήμῃ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σάββα τοῦ Ἡγιασμένου.

www.tezaurliturgic.ro

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις τῶν Ὁσίων κλέος σεπτόν, καὶ ὁμολογίας, ὁ οὐράνιος θησαυρός· χαίροις τῶν Εἰκόνων, ὑπέρμαχος γενναῖος, καὶ τῆς Ὀρθοδοξίας, στάθμη Θεόφανες.

*Στίχοι.*
*Θεοφάνους ὕμνησε τὰς ἀριστείας,*
*Ὁ τῆς Ῥόδου Κύριλλος ἀπὸ καρδίας.*